# 04 DECEMBRIE

# SLUJBA SF.MARI MUCENIȚE VARVARA DE LA HELIOPOLISUL SIRIEI

# MINEIUL-GR


СТ. ВЛМЧНИЦА
ВАРВА́РА

# Ἀκολουθία Ἀναμνήσεως Θαύματος Μεγαλομάρτυρος ΒΑΡΒΑΡΑΣ

## ΕΝ ΠΟΛΥΔΕΝΔΡΙῼ ΑΤΤΙΚΗΣ (1917)

Ψαλλομένη τῇ 15η Ἰουλίου

## ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εὐλογήσαντος τοῦ Ἱερέως ὁ Προοιμιακός. Εἰς δέ τό Κύριε ἐκέκραξαἱστῶμεν στίχους στ΄ καί ψάλλομεν Στιχηρά Προσόμοια. Ἦχος πλ.δ΄. Ὢ τοῦ παραδόξου θαύματος.

Ὢ τοῦ παραδόξου θαύματος, ἡ καλλιμάρτυς Χριστοῦ, φιλανθρὼπως ἐφίσταται, τοῖς ἐν νόσῳ ἅπασι, λοιμικῇ κινδυνεύουσι, καί θεραπεύει νοσοῦντας τὰχιστα, τοὺς τῇ Εἰκὸνι αὐτῆς προσπὶπτοντας, ᾗ καί βοήσωμεν· νόσων διαφὺλαξον καὶ πειρασμῶν, τούς ἀεί τιμῶντας σε, Βαρβάρα πὰνσεμνε.

Χαῖρε Βαρβὰρα πανθαὺμαστε, Πολυδενδρὶου φρουρός, ἰατρός τε πανάριστος, καὶ πιστῶν ἁπάντων τε, χρηματίζεις τό ἔρεισμα. Τῆς γὰρ λοιμὼδους νόσου ἀνέστειλας, ἐπιδημίαν, τῇ ἐπισκὲψει σου. Ὅθεν

αἰτούμεθα, Ὀρθοδὸξους φύλαττε φθοροποιοῦ, λύμης τῶν αἱρὲσεων, ταῖς ἱκεσίαις σου.

Τῆς παρθενὶας ἀγλάϊσμα, καὶ τῶν Μαρτὺρων κανὼν, τῇ πρός Κτίστην ἀγάπῃ σου, ἀνεδεὶχθης ἔνδοξε, καὶ ἡμῶν καταφὺγιον. Τῇ δέ πρός Κύριον παρρησίᾳ σου, Πολυδενδρίου τὴν κὼμην ἔσωσας, νόσον ἐλὰσασα, λοιμικὴν πανεύφημε, διό ἡμεῖς, ὕμνον σοι προσὰδομεν, εὐχαριστὴριον.

Ἕτερα. Ἦχος α'. Τῶν οὐρανίων Ταγμάτων.

Ταῖς τῶν Μαρτύρων χορείαις συγκατηρίθμησαι, οὐδὲν τῶν ἐν τῷ κόσμῳ, τῆς ἀγάπης τοῦ Κτὶστου, προκρίνασα, θεόφρον, καὶ τοῦ πατρός, ὑπερεῖδες προστὰγματα· ἀλλὰ ἡμᾶς τούς τιμῶντας σε εὐλαβῶς, μὴ παρίδῃς ἱκετεύοντας.

Πολυδενδρίου ἡ κὼμη ἀγὰλλου σὴμερον, πνευματικῶς καὶ σκίρτα, ἐκ βαθὲων τιμῶσα, τὴν Μάρτυρα Βαρβὰρα ἥτις ἡμᾶς, συμφορᾶς ἐλυτρώσατο, τῆς λοιμικῆς καί πρεσβεύει πρός τόν Χριστόν, πὰσης βλάβης τοῦ ῥυσθῆναι ἡμᾶς.

Τὴν σὴν Βαρβὰρα εἰκόνα τὴν θαυματόβρυτον, τιμῶμεν ὁμοθύμως, προσκυνοῦντες ἐν πόθῳ, τὴν ἄφθονον ἀντλοῦντες χὰριν ἡμεῖς, οἱ ἀνάξιοι δοῦλοι σου, τὴν θεραπεύουσαν νόσους σωματικάς, καὶ ψυχῆς τὰ ἀρρωστήματα.

Δόξα. Ἦχος πλ. δ'.

Δεῦρο ἅπας σὴμερον Πολυδενδρίου ὁ λαός, ἐν σπουδῇ συνὲλθωμεν, αἶνον χαριστὴριον ἀναπὲμψαι

Χριστῷ τῷ Θεῷ· καὶ τὴν πανεύφημον καὶ πάγκαλον νύμφην Αὐτοῦ, καταστέψωμεν ἄνθεσιν ᾠδῶν πνευματικῶν, ὡς τὸν κόσμον νικήσασαν, καὶ τοῦ Βελίαρ τὰ ἔνεδρα φυγοῦσαν, καὶ τὴν κὼμην ἡμῶν λοιμοῦ φοβεροῦ, ταχύ ἀπαλλὰξασαν. Ταύτη οὖν ἐκβοήσωμεν· Βαρβὰρα καλλιπάρθενε, μῆτερ πάντων ἡμῶν, ἰατρὲ πανθαύμαστε, ῥῦσαι πάσης κακώσεως καί λοιμοῦ ὀλεθρίου, ποὶμνην τοῦ Δεσπότου σου, χερσὶ σου αἱμασσούσαις ἐκδυσωποῦσα Αὐτὸν, ὡς μὸνον ἀγαθόν καί φιλάνθρωπόν.

Καὶ νῦν. Θεοτοκίον.

Ὁ Βασιλεύς τῶν οὐρανῶν…

Εἰς τόν Στίχον. Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξὺλου.

Ὅτε ὥσπερ μάστιξ ἀπηνής, τοῦ Πολυδενδρίου τῇ κὼμῃ, λοιμός ἐπὲδραμε, ἔσπευδεν ὁ θὰνατος θερίζειν ἅπαντας· τότε πλήθη κατὲλαβον, ἐν φόβῳ τὰ ὄρη, ἔλεον αἰτούμενοι παρά Χριστοῦ τοῦ Θεοῦ. Ὅθεν ὡς φιλὰνθρωπος, Σῶτερ, ἔπεμψας Βαρβάραν τὴν θεἰαν, ῥύσασθαι λαὸν τῆς ἀπογνώσεως.

Στ. *Δίκαιος ὡς φοὶνιξ ἀνθήσει…*

Ὅτε ἐν ὁρὰματι λαμπρῷ, ὤφθης παιδαρίῳ, Βαρβὰρα, νύμφη πολύαθλε, ἤνεγκαν εἰκὸνα σου τὴν ἱερὰν ἐν τιμῇ, καὶ ὁδοῖς περιὲφερον, τῆς κὼμης ἐν πίστει, δὰκρυσι προσπὶπτοντες αὐτῇ καί στένοντες. Ὅθεν τὴν παμμὸχθηρον νόσον, ἤλασας ἐν τὰχει καί πὰντας, τούς θανεῖν ἐγγίζοντας ἠνόρθωσας.

Στ. *Πεφυτευμὲνος ἐν τῷ οἴκῳ Κυρίου…*

Ὅτε μαρτυρὶου τοῦ σεπτοῦ, κατηγλαϊσμὲνη ὑπῆρχες, κόρη τοῖς στίγμασι, ἤτησας τῷ Κτίστη σου ἐν παρρησίᾳ πολλῇ, τούς ἐν πίστει τιμῶντας σε, παντός φυλαχθῆναι, λοιμικοῦ νοσὴματος καὶ πὰσης ἄλλης ὀργῆς. Ὅθεν καὶ Πολυδενδρίου τὴν κώμην, πάσης διαφύλαξας λύμης, ὡς σεμνοπρεπῶς σε μεγαλὺνουσαν.

Δὸξα. Ἦχος πλ. β΄.

Εὐφροσὺνως σὴμερον πιστοί, χεῖρας κροτήσωμεν καί φαιδρῶς χορεύσωμεν, λαμπρῶς πανηγυρίζοντες, ἐπὶ τῇ μνήμῃ τῆς ἀθληφόρου Βαρβὰρας, τῆς Παρθὲνου καὶ Μάρτυρος· καὶ τὴν αὐτῆς εἰκόνα κυκλοῦντες, πόθῳ ἀσπασώμεθα, πλοῦτον ἀρυόμενοι ἰαμάτων, ὅν νέμει ὁ Δεσπότης, τοῖς τιμῶσιν ἐκ πόθου τήν πανένδοξον νύμφην Αὐτοῦ. Μή διστὰσωμεν, μηδέ ἐκκακήσωμεν ταὺτην ἱκετεύοντες, ὡς οὖσαν εὐσυμπάθητον τοῦ λυτρώσασθαι λαόν, κεκακωμένον πάσης νόσου καί κινδύνου χαλεποῦ, ταῖς πρὸς Κύριον δεήσεσιν.

Καὶ νῦν. Θεοτοκίον.

Ὁ Λυτρωτής μου….

Νῦν ἀπολύεις, Τρισάγιον, Ἀπολυτίκια.

Ἦχος δ΄.

Βαρβὰραν τήν ἁγὶαν τιμὴσωμεν…

Δόξα. Ἦχος α΄. Τῆς ἐρὴμου πολίτης.

Τῶν Μαρτύρων τὴν δόξαν καί Παρθὲνων ὡράϊσμα, καὶ Πολυδενδρίου τῆς κὼμης ἰατρόν τήν ἀνάργυρον,

Βαρβὰραν τὴν καλλίνικον ὁμοῦ, ὁσίαις ἀνυμνήσωμεν φωναῖς· κατάρας γὰρ ἐρρύσατο λοιμικῆς, λαόν ἐν πίστει κράζοντα· δόξα τῷ σέ δοξάσαντι Χριστῷ, δόξα τῷ σέ θαυμαστώσαντι, δόξα τῷ δωρησαμένῳ σε ὑμῖν, στερρόν προτείχισμα.

Καί νῦν. Θεοτοκίον.

Τοῦ Γαβριὴλ φθεγξαμὲνου…

Ἀπόλυσις.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τὴν α᾽ Στιχολογίαν, Κὰθισμα. Ἦχος α᾽. Τόν τὰφον Σου, Σωτὴρ.

Βαρβὰραν τὴν σεμνὴν, τοῦ Κυρίου ἀμνάδα, ᾠδαῖς πνευματικαῖς, εὐχαρίστοις ἐν ὕμνοις, λαμπρῶς εὐφημὴσωμεν, καὶ τιμήσωμεν σήμερον, ὅτι ἔσωσε ἐκ τῆς πικρᾶς εὐλογίας, κινδυνεύουσαν, Πολυδενδρίου τήν κώμην, θερμαῖς ταῖς ἐντεύξεσιν.

Θεοτοκίον.

Τήν μὸνην καθαράν καί ἀκήρατον νύμφην, Χριστοῦ τοῦ δι᾽ἡμᾶς. ἐν τῷ κόσμῳ φανὲντος, Μητὲρα τήν πὰναγνον, τῶν πιστῶν τό διάσωσμα, ἀνυμνήσωμεν, ἐν καθαρά τῃ καρδία, ἀρυόμενοι, παραμυθίαν καί χάριν, καὶ ἔλεον ἄφθονον.

Μετά τήν β΄ Στιχολογίαν, Κάθισμα. Ἦχος δ΄. Κατεπλάγη Ἰωσὴφ.

Παρθενίας ταῖς αὐγαῖς, καταλαμθεῖσα νοερῶς, μαρτυρὶου ταῖς πληγαῖςμ ὡραϊσθεῖσα ἐμφανῶςμ τῷ σῷ Νυμφίῳ προσὴχθης Μάρτυς Βαρβάραμ καὶ χαὶρεις σὺν Αὑτῷ, ἐν τῇ τραπέζῃ Αὑτοῦ, τρυφῶσα ἀγαθοῖς, ἠτοιμασμὲνοις πολλοῖς, οὐχί δέ μόνῳ σοὶ ἀλλά καί πᾶσι, τοῖς ἀληθῶς ἀγαπῶσιν Αὑτὸν· διὸ μὴ παύσῃ, ἐκδυσωποῦσα, τὸν Ἰησοῦν ὑπὲρ πάντων ἡμῶν.

Θεοτοκίον.

Ἀσιγὴτοις ταῖς φωναῖς, ὑμνολογῶ Σε Μαριὰμ, ὅτι ἔτεκες ἡμῖν, τὸν προαιώνιον Θεὸν, σὰρκα δανείσασα ἄμωμον Τούτῳ· ἐθήλασας στοργῇ τὸν πᾶσαν τρέφοντα γῆν, ἀγκὰλαις μητρικαῖς, βρέφος ἐβάστασας Αὑτόν, διό καί ἔχεις παρρησίαν ὑπὲρ τοῦ κόσμου, πρεσβεύειν Αὑτῷ καὶ μὴτηρ πὲλεις ἡμῶν ἁπὰντων, τῶν εὐσεβῶς ἀνυμνούντων Σε.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα.Ἦχος γ΄. Τὴν ὡραιότητα.

Τό Πολυδὲνδριον, σκιρτᾶ καί χαίρεται, ἐπί τῇ μνήμῃ σου, Βαρβάρα σὴμερον, ὅτι ἐλύτρωσας αὐτό εἰκὸνι τῇ τιμίᾳ σου, καὶ τὴν ἀμαυρότητα, καὶ τὴν θλὶψιν μετὲβαλες, εἰς χαρὰν καὶ ἄφατον, εὐφροσύνην πανεύφημε, ὅτι ἐμὰκρυνας τὴν νόσον εὐλογίας, καὶ ἀντεισήγαγες χάριν ἀδάπανον.

Θεοτοκίον.

Τὴν ἀειπὰρθενον, ἁγνήν καὶ ἄμωμον, τήν ἀπειρὰνδρως δε, Χριστὸν κυὴσασαν, οἱ λυτρωθέντες διά Σοῦ, Μαρία ἱκετεύομεν· φρὲνας περιτείχισον, καὶ καρδίας ὀχύρωσον, καὶ ταχύ ἐξάρπασον, ἐξ ἐχθρῶν τυραννοὺντων ἡμῖν, καὶ φύλαξον ἡμᾶς ἀπαρατρώτους, ἐν τῇ ἡμὲρα Παρθὲνε τῆς Κρίσεως.

Εἶτα οἱ Ἀναβαθμοί· τό α΄ Ἀντίφωνον τοῦ δ΄ Ἦχου.

Προκείμενον. *Ὑπομὲνων ὑπὲμεινα τὸν Κύριον καί προσὲσχε μοι καί εἰσὴκουσε τῆς δεὴσεώς μου.*

Στ. *Δίκαιος ὡς φοὶνιξ ἀνθήσει…*

Εὐαγγὲλιον ἐκ τοῦ κατὰ Μᾶρκον. (Ζὴτει αὐτό τῇ 25η Νοεμβρίου).

Ὁ Ν΄ Ψαλμός.

Δὸξα. Ταῖς τῆς Ἀθληφόρου…

Καὶ νῦν. Ταῖς τῆς Θεοτὸκου…

Εἶτα Ἰδιόμελον. Ἦχος β΄. Στ. *Ἐλέησόν με, ὁ Θεός,…*

Σὴμερον ἅπαντες, οἱ παροικοῦντες τήν κὼμην τοῦ Πολυδενδρὶου, σπεύσωμεν εἰς τὸν οἶκον τῆς Μὰρτυρος καὶ Ἀθληφόρου Βαρβάρας, τῆς μητρός καί προστάτιδος καὶ ἰατροῦ ἡμῶν ἀμίσθου, καί κλὶναντες γὸνυ ἐκ καρδίας εἴπωμεν αὐτῇ· Ἀθλοφόρε σκὲπασον ἡμᾶς ἀπὸ πάσης βλάβης, οἰκειοῦσα ἡμᾶς τῷ Χριστῷ, καί τοῦ ἀσβέστου λύτρωσαι πυρός, τοῦ Παραδεὶσου ποιῶν πολίτας ἡμᾶς.

Εἶτα οἱ Κανόνες· τῆς Θεοτόκου καὶ τῆς Ἁγίας, οὗ ἡ ἀκροστιχίς· *Πολυδενδρίου ἡ κώμη ὑμνεῖ σε, Νύμφη. Ἰωὰννης.*

Ὠδὴ α΄. Ἦχος δ΄. Ἀνοίξω το στόμα μου.

Παμμίαρα χείλη μου, ἀνοίξας, Μάρτυς πολύαθλε, τολμῶ ἀνυμνῆσαι σου τῶν θαυμασίων πληθὺν, καὶ τὴν χάριν σου, ἀφθὸνως κομιοῦμαι, νοός μου τήν ζόφωσιν, τάχος μακρύνουσαν.

Ὀλέθριον μάστιγα, τῆς ἀσθενείας κατέπαυσας, Βαρβάρα φιλόθεε, ἐν κατωδύνῳ λαῷ, καί ἐποὶησας, Πολυδενδρίου κώμην, σκιρτᾶν καί ἀγάλλεσθαι, ἐπί τῇ μνήμῃ σου.

Λιθώδης καὶ ἄσπλαχνος, πατρός ἡ γνὼμη ἐξέπληξε, τόν λίθον τὸν ἄψυχον, καὶ τάς ἀγκὰλας αὐτοῦ, Μὰρτυς ἤνοιξε, καὶ ἔκρυψε σε ἔνδον, ἐγὼ δέ ἐγκρύπτω σε, ἔσω καρδίας μου.

Ὑπὴκοος γὲγονας, μὲχρι θανὰτου Κυρίῳ σου, παθόντι καί θνήξαντι ἐν τῷ Σταυρῷ διά σε, καὶ ἀνήκοος, πατρὶ δυσεβεστάτῳ, ἡμῖν δέ εὐήκοος, γενοῦ πανὸλβιε.

Θεοτοκίον.

Δαιμὸνων ἐπὶχαρμα, καί τῶν παθῶν οἰκητὴριον, ἀθὲσμοις μου πράξεσι γέγονα Ἄχραντε, ἀλλὰ πρὸφθασον, τῇ κραταιᾷ χειρὶ Σου, καὶ ῥῦσαι με Δέσποινα, φρικτῆς κολὰσεως.

Ὠδὴ γ΄. Τούς Σούς ὑμνολόγους.

Ἐξέστησαν πᾶσαι αἱ δυνάμεις, τοῖς ἄθλοις σου, Μάρτυς τοῦ Χριστοῦ, ἐξέστη καί ὁ τύραννος, τῆς γνώμης τῇ στερρότητι, οἱ δὲ πιστοί ἐξιστὰμεθα, τοῖς θαυμασίοις σου, πὰνσεμε.

Νικὴσασα κόσμου τήν ἀπάτην, Βαρβὰρα τῷ ἔρωτι Χριστοῦ, ἐν οὐρανοῖς χορεύεις νῦν, καὶ δόξης ἀϊδὶου φωτός, σὺν τοῖς Ἁγίοις ἅπασι, ἐμπιπλαμὲνη εὐφραίνεσαι.

Δακρύοις προσπίπτομεν σοι Κόρη, εἰκὸνα τήν σήν πανευλαβῶς, καὶ πόθῳ ἀσπαζόμενοι, Πολυδενδρίου ἅπαντες, οἱ κάτοικοι λαμβὰνομεν, ἀναψυχὴν ἐν ταῖς θλίψεσι.

Θεοτοκίον.

Ῥυσθὲντες ἐχθροῦ τοῦ ψυχοφθόρου, τῷ τόκω Σου Μῆτερ τοῦ Θεοῦ, ὑμνοῦμεν Σε καί κράζομεν· βοὴθει Πανακήρατε, ἀπεγνωσμὲνοις δούλοις Σου, ταῖς μεθοδείαις τοῦ δράκοντος.

Κάθισμα. Ἦχος πλ. δ΄. Τήν Σοφίαν καὶ Λόγον.

Τὴν φωτόμορφον νύμφην τοῦ Ποιητοῦ, τὴν μισήσασαν κὸσμου τὰς ἡδονὰς, πατρὸς δέ προστὰγματα, μηδαμῶς ὑπακούσασαν, ἀπειλὰς τοῦ ἀθὲου, τυρὰννου μὴ πτὴξασαν, ἀλγηδὸνας βασὰνων ἀνδρείως ἐνὲγκασαν, τοῦ Πολυδενδρίου, οἱ οἰκήτορες πὰντες, ὑμνὴσαμεν ἄσμαι, εὐχαρίστως κραυγάζοντες. Ἀθλοφόρε ἱκὲτευε, Χριστὸν ὑπὲρ τῶν σῶν ἱκετῶν, καὶ

τὴν κώμην ταύτην διαφύλαττε, ἀσινῆ ταῖς πρεσβείαις Σου πὰνσεμνε.

Δόξα. Καί νῦν. Θεοτοκίον.

Πειρασμοῖς πολυπλόκοις περιπεσών, ἐξ ἐχθρῶν ἀοράτων καὶ ὁρατῶν, τῷ σὰλῳ συνὲχομαι, τῶν ἀμέτρων πταισμάτων μου, καὶ ὡς ἔχων ἀντὶληψιν καὶ σκὲπην Σε Ἄχραντε, τῷ λιμὲνι προστρὲχω τῆς Σῆς ἀγαθότητος· ὅθεν Παναγὶα, τὸν ἐκ Σοῦ σαρκωθέντα, ἀσπόρως ἱκέτευε, ὑπὲρ πάντων τῶν δούλων Σου, τῶν ἀπαύστως ὑμνούντων Σε, πρεσβεύουσα Αὐτῷ ἐκτενῶς, τῶν πταισμάτων ἄφεσιν δωρὴσασθαι, τοῖς προσκυνοῦσιν ἐν πίστει, τόν τόκον Σου, Ἄχραντε.

Ὠδὴ δ΄. Τὴν ἀνεξιχνίαστον.

Ἴον εὐωδέστατον ὤφθης ἡμῖν, καί ὀσμήν ζωῆς μεταδὲδωκας, νύμφη Κυρίου τῆς εἰκὸνος σου σεμνή, τῇ ἐπισκέψει παύσασα, δύσοσμον Βαρβὰρα ἀσθὲνειαν.

Ὅλη γλυκασμός, Χριστομάρτυς ἁγνὴ καὶ παραμυθία, καί ἔλεος Βαρβὰρα πὲλεις τὸν Χριστὸν, ἐν τῇ ψυχῇ ζωὴν διδὸντα ἔχουσα, καὶ Αὐτῷ ὑπὲρ κόσμου πρεσβεύουσα.

Ὕδατι βαπτίσματος, ἁμνὰς τοῦ Χριστοῦ αἷμα μαρτυρίου προσὲθηκας, διαφυγοῦσα τάς παγὶδας τοῦ ἐχθροῦ, καὶ καθαρθεῖσα τὲλεον, ὡς φωστὴρ ἐκλάμπεις τρισόλβιε.

Θεοτοκίον.

Ἤρθης ὑπερὰνω Παρθὲνε ἁγνή, πάσης ἀσωμάτου δυνάμεως τῇ θεὶᾳ δόξῃ, ὅτι ἔτεκες σαρκί, τὸν Ποιητήν τῆς κτὶσεως, νόων οὐρανίων δεσπόζοντα.

Ὠδὴ ε΄. Ἐξὲστη τά σύμπαντα.

Κρατῆρα ἐξὲπιες, τοῦ μαρτυρίου ἔνδοξε, αἷμα σου προχέουσα τῷ Κτίστῃ, καὶ ἰαμὰτων πὲλαγος γὲγονας, καὶ νὸσον εὐλογίας τῆς δεινῆς, Μάρτυς ἀπεδίωξας, Πολυδὲνδριον σώζουσα.

Ὠμώτατον τὺραννον, καὶ ἄστοργον γεννὴτορα, νύμφη καλλιπὰρθενε Κυρίου, οὐκ ἐπτοὴθης ἀλλ'ὡμολόγησας Χριστὸν, τὸν ὑπερὰγαθον Θεὸν, ὕβρεις ὑπομεὶνασα, καὶ βασὰνους καὶ θὰνατον.

Μαρτύρων ὡράϊσμα, Βαρβάρα μεγαλώνυμε, ἐφὰνης καὶ Ἀγγέλων εὐκοσμία, τῆς Ἐκκλησίας τό ἐγκαλλώπισμα, τοῦ Πολυδενδρίου καλλονή, καί τῶν προστρεχὸντων σοι, στολισμός καί εὐπρέπεια.

Ἡ χάρις σου ἄφθονος, ὥσπερ πηγή ἐκβλύζουσα, δρόσον καί παρὰκλησιν παρέχει, τοῖς προσκυνοῦσι Βαρβάρα πὰνσεπτε, τήν λαμπράν εἰκόνα σου πιστῶς, τὸν φλογμὸν διώκουσα, πάσης νόσου καί μάστιγος.

Θεοτοκίον.

Ὑμνῶν Σε οὐ παύσομαι, Κυρὶα μου καὶ Δέσποινα, σκὲπη κραταιά καὶ θυρεός μου, κατά δαιμὸνων καὶ ὀλεθρίων παθῶν, ὧν ἐμέ φυλάττεις ἀβλαβῆ, πόθῳ καταφεύγοντα, ἐπί Σὲ Παναμώμητε.

Ὠδὴ στ΄. Τὴν θείαν ταύτην καὶ πὰντιμον.

Μακράν τῆς κὼμης ἐλάσασαν, πικρὸν λοιμόν καὶ θάνατον θαύματι, Βαρβὰρα πὰνσοφε, ὑμνολογοῦμεν σε δὰκρυσι, οἱ τοῦ Πολυδενδρίου πιστοὶ οἰκήτορες.

Ναός ὁ θεῖος σου σὴμερον, Βαρβὰρα καλλιμάρτυς λαμπρύνεται, πᾶσιν κηρρύτει δεέ, τά θαυμαστά μεγαλεῖα σου, καὶ οἱ στερροὶ ἀγῶνες τοῦ μαρτυρίου σου.

Ἐξ ὕψους δίκη κατὲλαβε, πατρός τήν δυσεβῆ ἱταμότητα, Μάρτυς πολύαθλε, ἐξ ὕψους σύ δὲ ἐπὲφανας, καὶ τῆς δεινῆς κατάρας, λαὸν σου ἔσωσας.

Ἱστὶω νύμφη προσὴλωσας, Σταυροῦ τούς ὀφθαλμούς τῆς καρδίας σου, καὶ ἐναθλήσασα, είς οὐρανούς καθωδὴγησας, τήν τῆς ψυχῆς σου ὀλκὰδα, αὔρᾳ τοῦ Πνεύματος.

Θεοτοκίον.

Σκιρτῶσι κόσμου τὰ πὲρατα, Ἀγγὲλων οἱ χοροὶ ἐπαγὰλλονται, νύμφη Ἀνύμφευτε, τῇ ὑπέρ νοῦν καθαρότητι, καὶ τῇ ἀφράστῳ αἴγλῃ ἐν ᾗ κεκόσμησαι.

Κοντάκιον. Ἦχος πλ. δ΄. Τῇ ὑπερμὰχῳ.

Σὲ τὴν νύμφην τοῦ Χριστοῦ τὴν καλλιμάρτυρα, τὴν ῥυσαμὲνην θαυμαστῶς δεινῆς ἐκ μάστιγος, μακαρὶζει σε ἡ κώμη Πολυδενδρίου, ἱκετεύουσα θερμῶς καὶ ἀνακράζουσα, πάσης λὼβης καὶ ἀνάγκης ἡμᾶς φὺλαττε, τούς βοῶντας σοι· χαὶροις Βαρβὰρα μεγαλὼνυμε.

## Ὁ Οἶκος.

Οὐρανόθεν ἐφὰνης παιδαρίου ἐν ὕπνῳ, κελεύσασα εἰκόνα σου θείαν, λιτανεῦσαι ἐν κὼμης ὁδοῖς, ὅ καὶ γέγονεν· νόσος δὲ πικρά ἠφὰνισται τῇ χάριτι σου, πὰνσεμνε· διό σοι εὐχαρίστως βοῶμεν·

Χαίροις, Χριστοῦ ἐθελόθυτον θῦμα·

χαίροις, Ἐκκλησίας τὸ πολύκαρπον κλῆμα.

Χαὶροις, κὸσμου ἡ μισὴσασα καὶ φυγοῦσα τά τερπνά·

χαίροις, πὸνους ὑπομεὶνασα καὶ ἀνύποιστα δεινὰ.

Χαὶροις, καύχημα ὑπὲρλαμπρον τῶν Μαρτύρων τοῦ Χριστοῦ·

χαίροις, κέντρον καί ὀλόθρευσις τοῦ ἀρχαίου πτερνιστοῦ.

Χαίροις, νύμφη ἡ ποθοῦσα τῷ Νυμφίῳ συμπαθεῖν·

χαίροις, κόρη ἡ τελοῦσα θαυμασίων τήν πληθύν.

Χαίροις, εὐλογίας τήν ἀρὰν καθελοῦσα·

χαίροις, τῆς ὑγιείας τὴν χαρὰν ἡ διδοῦσα.

Χαίροις, δι’ἧς ἐτρὰνωται τῆς Τριὰδος ἡ πίστις·

χαίροις, Πολυδενδρίου ὁ ταχύτατος ρύστης.

Χαίροις Βαρβάρα μεγαλώνυμε.

## Συναξάριον.

Τῇ αὐτῇ ἡμέρα, μνὴμην ἐπιτελοῦμεν τοῦ γενομένου ὑπό τῆς Ἁγίας ἐνδόξου Μεγαλομάρτυρος Βαρβάρας ὑπερφυοῦς θαύματος ἐν τῇ κὼμῃ τοῦ

Πολυδενδρίου, ὅτε ἡ Ἁγία θαυμαστῶς ἐρρὺσατο ταύτην ἐν ἔτει ἀπὸ Χριστοῦ 1917, ἐκ τῆς ἐπαράτου νόσου εὐλογίας, ἥτις πολλούς τῶν κατοίκων ἐθανάτωσε καὶ διά παντελοῦς ἀφανισμοῦ τήν κὼμην ἠπείλει.

Στίχοι·

*Βὰρος Βαρβὰρα νόσου βαρβάρου αἴρει,*
*ὕμνοις δέ Πολυδὲνδριον αὐτήν γεραίρει.*

Ταῖς αὐτῆς ἁγὶαις πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλὲησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

Ὠδή ζ΄. Οὐκ ἐλάτρευσαν.

Ἐστεφὰνωσαι, Βαρβάρα παναοὶδιμε ὑπό τοῦ Κτὶστου σου, στεφάνω μαρτυρικῷ, ἡμεῖς δέ εἰκὸνα σου κατασπαζόμεθα, καὶ ἐν ἄσμασι, Πολυδενδρίου κώμη σε, καί ᾠδαῖς σε καταστέφει.

Νοῦν οὐρὰνιον, κραθὲντα Θεὶῳ Πνεύματι καὶ σῶμα πνευματικὸν, Βαρβὰρα κατέχουσα οὐκ ἐπτοήθης ποσῶς, ξέσεις σώματος, καί τοῦ πυρός τήν βάσανον, τῷ Χριστῷ σου κολληθεῖσα.

Ὑπό μάστιγος, οἱ δοῦλοι σου τυπτόμενοι καί θανατούμενοι, Βαρβὰρα πανευκλεής, εἰκὸνα σου ἤνεγκαν καί λιτανεύσαντες, θαυματόβρυτον, θεράποντά σε εὕραντο, καί Πολυδενδρίου σκέπην.

Θεοτοκίον.

Μητροπάρθενε, φωστῆρα Σε κεκτήμεθα τὸ φῶς κυὴσασαν, Χριστὸν τὸν Θεὸν ἡμῶν, διό φωταγὼγησον

ἐσκοτισμὲνους ἡμᾶς, καί προσάγαγε, τῷ Σῷ Υἱῷ συνάπτουσα, τούς γεραίροντας Σε Κόρη.

Ὠδή η΄. Παῖδας εὐαγεῖς.

Φλόγα τοῦ πυρός μὴ πτοηθεῖσα, χρυσός ἀποστίλβων ἀναδὲδειξαι, πίστει τοῦ Νυμφίου σου, βασὰνους καθυπέμεινας, καί ἔρωτι τῷ θεὶῳ σου πυρακτουμὲνη σφοδρῶς, τὴν ἄφθαρτον, ζωήν καὶ ἀγὴρω πὰντιμε, Βαρβάρα κληροῦσαι εἰς αἰῶνας.

Ἤγαγόν σὲ, Μάρτυς, γυμνωθεῖσαν ὁδοῖς, τοῦ τυρὰννου τῷ προστὰγματι, ὅμως σέ ἐνέδυσε Κύριος τῇ χάριτι, ἡμεῖς δέ περιφὲρομεν, τὴν σὴν εἰκὸνα ὁδοῖς πανεύφημε, Πολυδενδρίου κώμης ῥῶσιν, ἀπαντλοῦντες ψυχῶν τε καί σωμάτων.

Ἵνα τοῦ θανάτου λυτρωθῶσι, Πολυδενδρίου κάτοικοι κατέφυγον, ἐν βουνοῖς καί ὅρεσι, ἀπεγνωσμὲνοι πὰντοθεν, ἀλλ’ἔφθασας καὶ ἔσωσας ἐκ τῆς λοιμώδους ἀρᾶς, τὴν ποίμνην σου , κραυγάζουσαν πόθῳ Βαρβὰρα, βοήθει λαὸν κεκακωμὲνον.

Θεοτοκίον.

Ὡς παντός τοῦ κόσμου προστασὶαν, καὶ τεῖχος ἀκαταμάχητον, οἱ δοῦλοι Σου ὕμνοις Σε γεραὶρομεν, πόθῳ καταφεύγομεν τῇ χὰριτί Σου Πὰναγνε, ἀναβοῶντες Σοι ἐχθρῶν ἡμᾶς ζητοὺντων ὀλέσαι, λύτρωσαι Μαρία πρεσβείαις Σου ταῖς θείαις.

Ὠδὴ θ΄. Ἅπας γηγενής.

Ἅπας ὁ λαός, ὑμνεῖ σε πανὲνδοξε Πολυδενδρίου θερμῶς, καὶ λαμπρῶς κηρύττει σου, τὰ μεγαλεῖα καὶ ἁγιάζεται, εἰκὸνος τῇ προσψαύσει σου καί νοῦν λαμβὰνει Χριστοῦ, καί τούς ἄθλους μὲλπων σου, θαρρύνεται εἰς ἀγῶνας καλούς ἀγωνίζεσθαι.

Νήφοντες καλῶς, πὰντες γρηγορήσωμεν θερμῶς εὐχόμενοι, καί πρὸς τὸν ἀντίδικον, ἀντιμαχησώμεθα, Βαρβάραν ἔχοντες, τὴν ἀνδρικῶς νικήσασαν τόν πολυμήχανον, ὡς ἀσπὶδα ἰσχυρὰν καί σύμμαχον, ἰατρὸν τε ψυχῆς καὶ τοῦ σώματος.

Νόημα πιστοί, ἅπαν ἐκδουλώσωμεν ὑπακοῇ τοῦ Χριστοῦ, ὥσπερ ἡ καλλίνικος, καί ἀθληφόρος Χριστοῦ ἐποίησε· ἐν πύργῳ γάρ ὑπάρχουσα ἐγκεκλεισμὲνη, τὸν νοῦν τῆς Τριάδος φωτί ἀπεκάθηρε, θεολὸγον δέ ἄριστον ἔδειξεν.

Ἥδυσμα νοός, γλυκύ καταθύμιον πὲλει πανύμνητε, τὸ σεπτόν σου ὄνομα, καί τό στερρὸν σου, νύμφη, μαρτύριον, οὗ μνημονεύων σώζομαι ἐκ ζοφερῶν μου ἐχθρῶν, καί ποικίλων νόσων θεραπεύομαι, καὶ πρός πόθον τοῦ Κτίστου ἀνάγομαι.

Θεοτοκίον.

Σῶμα καὶ ψυχήν, μολύνας ὁ ἄθλιος ταῖς βδελυραῖς ἡδοναῖς, κληρονόμος γὲγονα, πικροῦ θανάτου καὶ τῆς κολάσεως, ἀλλὰ Σύ Μῆτερ Πὰναγνε ταῖς πρός Υἱόν Σου λιταῖς, ἐκ βαρὰθρου σκοτεινοῦ ἀνάσπασαι, καί πρός φῶς αἰωνίζον εἰσὰγαγε.

Ἐξαποστειλάριον. Ἦχος β΄. Τῶν Μαθητῶν ὁρὼντων.

Τῆς λιμικῆς διὲσωσας τυραννίδος, ταχύ Πολυδενδρίου τήν κώμην, Μάρτυς· ὅθεν καί οἱ δοῦλοι σου συντρέχομεν ἐν τῷ Ναῷ σου ἅπαντες, καί προσκυνοῦμεν Σε πόθῳ, τήν χάριν σου ἐξαιτοῦντες.

Θεοτοκίον.

Προφητικαῖς φωναῖς Σε προεγνωκότες, Χριστοῦ οἱ ἐκλεγὲντες πιστοί θεόπται, τράπεζαν καί στάμνον ῥάβδον, καί πλάκα καί ὄρος ἀλατόμητον, ὑμᾶς προτρέπουσι πόθῳ, ἁγνήν Μητέρα ὑμνεῖν Σε.

Εἰς τούς Αἴνους. Ἦχος δ΄. Ὁ ἐξ Ὑψίστου κληθείς.

Τῇ ἐμφανείᾳ σου, Μάρτυς ἀθληφόρε, παιδίον ἐξὲστησας καί θάμβους ἔπλησας, καί τῆς εἰκόνος σου πρόοδον, ἐντειλαμὲνη κὴρυκα, ἔδειξας τῶν χαρὶτων σου, καί πᾶσιν ὑπὲμνησας τὰς τοῦ Κυρίου φωνάς, ὅτι ὁ θὲλων Παράδεισον κληρονομῆσαι, ὡς τά παιδία ὀφείλει γίνεσθαι· καί νῦν Βαρβάρα μεγαλώνυμε, ἐν ἀφελότητι καρδὶας τούς σπεύδοντας, τῇ εἰκὸνι σου φρουρει, καί παθῶν ἀτόπων λύτρωσαι.

Πολυδενδρίου ἡ κώμη εὐφραινέσθω, Βαρβάρας τῆς Μάρτυρος τῇ μνήμῃ σὴμερον, καί σὺν τοῖς ἄνθεσιν, ἄσματα θεῖα ἐν τῷ τεμὲνει αὐτῆς, κομίζουσα δεχὲσθω παράκλησιν, καί χάριν ἄφθονον, ὅτι θερμόν ἀντιλήπτορα, κέκτηται ταύτην, καί καταφύγιον ἀπροσμάχητον, ἐν ᾧ προστρὲχει κινδυνεύουσα, καί

λαμβάνει ἰὰματα κράζουσα, καλλιμάρτυς Κυρίου, περισκὲπε τούς ὑμνοῦντας σε.

Συντετριμμὲνον τὸν κάλαμον οὐ θλὰσει, καὶ λῖνον τυφόμενον οὐ σβὲσει Κύριος, ὁ Ἠσαΐας ἐβόησεν, ὑποφητεύων, φιλανθρωπίαν τήν τοῦ Δεσπότου ἡμῶν. Καὶ σύ ὡς μαθήτρια τοῦ Φιλανθώπου Χριστοῦ, Βαρβὰρα Μάρτυς πολύαθλε, συντετριμμένας, τῇ ἀπογνώσει ψυχάς ἠνόρθωσας, καί εὐλογίας ἀπεμάκρυνας, τήν παγκάκιστον νόσον τῆς ποίμνης σου, καὶ ἡμῶν τάς καρδίας, νῦν στηρὶζεις ταῖς πρεσβείαις σου.

Δόξα. Ἦχος πλ. α΄.

Ὅπου ἐπισκιάσει ἡ χάρις σου Βαρβὰρα, ἐκεῖθεν πᾶσα νόσος διὼκεται καὶ μάστιξ. Οὐκ ἔφερεν ὁ δόλιος εἰκὸνος σου τῆς θείας τὴν ἱερὰν λιτάνευσιν, ἀλλὰ δρομαῖος ᾤχετο, τὴν νόσον μεθ’ ἑαυτοῦ παραλαβὼν, τῆς φοβερᾶς εὐλογίας. Ἡ χάρις σου δέ πανθαύμαστε, τῇ κώμῃ πὰσῃ ἐφήπλωται, καί τοὺς νοσοῦντας ἤγειρε, τοὺς δέ οἰκοῦντας πὰντας, ἀφρὰστου θυμηδὶας ἐπλήρωσε. Διό σε ἱκετεύομεν, πάσης τοῦ δυσμενοῦς κακίας ἀπάλλαξον, Πολυδενδρὶου τήν κώμην, καὶ μιμητάς ἡμᾶς ἀνάδειξον, τῆς πρός τὸν Νυμφὶον σου ἀγάπης, καὶ μεῖνον μεθ’ἡμῶν, τῶν ἐν ὅλῃ καρδίᾳ θερμῶς ἐπικαλουμὲνων σε.

Καὶ νῦν. Θεοτοκίον

Σέ δυσωποῦμεν ὡς Θεοῦ Μητέρα Εὐλογημὲνη, πρέσβευε τοῦ σωθῆναι τάς ψυχάς ἡμῶν.

Δοξολογία Μεγὰλη και Ἀπόλυσις.